XV 43] Plato Tim. 74 E 75 A: ὅσα μὲν οὖν ἐμψυχότατα τῶν ὀστῶν ἦν, ὀλιγίσταις συνέφραττε σαρξίν, ἃ δ' ἀψυχότατα ἐντός, πλείσταις καὶ πυκνοτάταις, καὶ δὴ καὶ κατὰ τὰς ξυμβολὰς τῶν ὀστῶν, ὅπῃ μήτινα ἀνάγκην ὁ λόγος ἀπέφαινε δεῖν αὐτὰς εἶναι, βραχεῖαν σάρκα ἔφυσεν, ἵνα μήτε ἐμποδὼν ταῖς καμπαῖσιν οὖσαι δύσφορα τὰ σώματα ἀπεργάζοιντο, ἅτε δυσκίνητα γινόμενα, μήτ' αὖ πολλαὶ καὶ πυκναὶ σφόδρα τε ἐν ἀλλήλαις ἐμπεπιλημέναι, διὰ στερεότητα ἀναισθησίαν ἐμποιοῦσαι, δυσμνημονευτότερα καὶ κωφότερα τὰ περὶ τὴν διάνοιαν ποιοῖεν. διὸ δὴ τό τε τῶν μηρῶν καὶ κνημῶν καὶ τὸ περὶ τὴν τῶν ἰσχίων φύσιν τά τε τῶν βραχιόνων ὀστᾶ καὶ τὰ τῶν πήχεων, καὶ ὅσα ἄλλα ἡμῶν ἄναρθρα.

XVI 1] Plato Tim. 75 A—C: ὅσα τε ἐντὸς ὀστᾶ δι' ὀλιγότητα ψυχῆς ἐν μυελῷ κενά ἐστι φρονήσεως, ταῦτα πάντα συμπεπλήρωται σαρξίν· ὅσα δ' ἔμφρονα, ἧττον, εἰ μή πού τινα αὐτὴν καθ' αὑτὴν αἰσθήσεων ἕνεκα σάρκα οὕτω ξυνέστησεν, οἷον τὸ τῆς γλώττης εἶδος. τὰ δὲ πλεῖστα ἐκείνως· ἡ γὰρ ἐξ ἀνάγκης γιγνομένη καὶ ξυντρεφομένη φύσις οὐδαμῇ προσδέχεται πυκνὸν ὀστοῦν καὶ

XV 39 fortasse μὲν intercidit. post ταῖς εν ante lac. clare P 40 τηικομε . . [ν]ον spatio propter papyri pessimam illic condicionem relicto P 41 ἐναντιοῦσθαι K 43 δὲ K 45 κνήμας K 46 ὑπάρχειν K 47 K

XVI 1 γ[λῶσσαν] hasta obliqua extat in P; supplementa incerta αὐτῆς] sc. σαρκός 2 ταψυχοτερα P: τὰ ψυχ⟨ρ⟩ότερα coni. K

Digitized by Google

XVI 3 [γεῖν φ(ησιν) τὰ παχέα·] λέγεσθαι γ(άρ)· 'παχεῖα γαστὴρ
[λεπτὸν] οὐ [τ]ίκτει νόο[ν.' * *] τά τε ὀστέα φ(ησὶν)
5 [πεπηγέ]ναι [ἀ]ποστηρί[γμα]τ[ο]ς χάριν.
ἄρθρα δὲ α[ὐ]τοῖς πεποι[ῆ]σθαι π(ρὸς) τὰς συ-
στολὰς καὶ [κ]άμψεις. * νεῦρα δὲ τούτοις
ἔξωθεν [. .] τὴν σκληρότητα τ(ῶν) ὀστ(ῶν)
διὰ τὰς κ(ατὰ) πρ[ο]αίρεσιν κειν[ή]σεις. * σάρκας
10 δὲ διὰ προβολὴν ψύχους τε καὶ θάλ-
πους. * τά τε νεῦρα συνεστάναι ἐξ
σαρκὸς ἀζύμου καὶ ὀστέων κ(ατά) τινα
ἰδίαν κρᾶσιν. * * ὧδε καὶ φλέβας· * παρα-

σάρκα πολλὴν ἅμα τε αὐτοῖς ὀξυήκοον αἴσθησιν· μάλιστα γὰρ ἂν αὐτὰ πάντων ἔσχεν ἡ περὶ τὴν κεφαλὴν ξύστασις, εἴπερ ἅμα ξυμπίπτειν ἠθελησάτην, καὶ τὸ τῶν ἀνθρώπων γένος σαρκώδη ἔχον ἐφ' ἑαυτῷ καὶ νευρώδη κρατεράν τε κεφαλὴν βίον ἂν διπλοῦν καὶ πολλαπλοῦν καὶ ὑγιεινότερον καὶ ἀλυπότερον τοῦ νῦν κατεκτήσατο· νῦν δὲ τοῖς περὶ τὴν ἡμετέραν γένεσιν δημιουργοῖς ἀναλογιζομένοις, πότερον πολυχρονιώτερον χεῖρον ἢ βραχυχρονιώτερον βέλτιον ἀπεργάσαιντο γένος, συνέδοξε τοῦ πλείονος βίου, φαυλοτέρου δέ, τὸν ἐλάττονα ἀμείνονα ὄντα παντὶ πάντως αἱρετέον· ὅθεν δὴ μανῷ μὲν ὀστῷ, σαρξὶ δὲ καὶ νεύροις κεφαλήν, ἅτε οὐδὲ καμπὰς ἔχουσαν, οὐ ξυνεστέγασαν. κατὰ πάντα οὖν ταῦτα εὐαισθητοτέρα μὲν καὶ φρονιμωτέρα, πολὺ δὲ ἀσθενεστέρα παντὸς ἀνδρὸς προσετέθη κεφαλὴ σώματι.

XVI 3] cf. Galenus Thrasybulus [II 85,6 Helmreich, V 878 K.]: καὶ τοῦτο πρὸς ἁπάντων σχεδὸν ἀνθρώπων ᾖδεται, διότι πάντων ἐστὶν ἀληθέστατον, ὡς γαστὴρ ἡ παχεῖα τὸν νοῦν οὐ τίκτει τὸν λεπτόν (sic codd.). versum ipsum dant Gregorius Naz. II p. 213 D alii cf. Leutsch Paroem. II 337,22 a. Buecheler M. Rhen. 43, 295; Nauck F. T.² XV; Otto *Sprichw. d. Röm.* n. 1861.

XVI 4] Plato Tim. p. 74 AB: καὶ τὸ πᾶν δὴ σπέρμα διασῴζων οὕτω λιθοειδεῖ περιβόλῳ ξυνέφραξεν, ἐμποιῶν ἄρθρα, τῇ θατέρου προσχρώμενος ἐν αὐτοῖς ὡς μέσῃ ἐνισταμένῃ δυνάμει, κινήσεως καὶ κάμψεως ἕνεκα. τὴν δ' αὖ τῆς ὀστεΐνης φύσεως ἕξιν ἡγησάμενος τοῦ δέοντος κραυροτέραν εἶναι καὶ ἀκαμπτοτέραν, διάπυρόν τ' αὖ γιγνομένην καὶ πάλιν ψυχομένην σφακελίσασαν ταχὺ διαφθερεῖν τὸ σπέρμα ἐντὸς αὑτῆς, διὰ ταῦτα οὕτω τὸ τῶν νεύρων καὶ τὸ τῆς σαρκὸς γένος ἐμηχανᾶτο, ἵνα τῷ μὲν ἅπαντα τὰ μέλη ξυνδήσας ἐπιτεινομένῳ καὶ ἀνιεμένῳ περὶ τοὺς στρόφιγγας καμπτόμενον τὸ σῶμα καὶ ἐκτεινόμενον παρέχοι, τὴν δὲ σάρκα προβολὴν μὲν καυμάτων, πρόβλημα δὲ χειμώνων.

XVI 11] Plato Tim. p. 74 D: τὴν δὲ τῶν νεύρων φύσιν ἐξ ὀστοῦ καὶ σαρκὸς ἀζύμου κράσεως μίαν ἐξ ἀμφοῖν μέσην δυνάμει ξυνεκεράσατο, ξανθῷ χρώματι προσχρώμενος. ὅθεν συντονωτέραν μὲν καὶ γλισχροτέραν σαρκῶν, μαλακωτέραν δὲ ὀστῶν ὑγροτέραν τε ἐκτήσατο δύναμιν νεῦρα· οἷς ξυμπεριλαβὼν ὁ θεὸς ὀστᾶ καὶ μυελόν, δήσας πρὸς ἄλληλα νεύροις, μετὰ ταῦτα σαρξὶ πάντα αὐτὰ κατεσκίασεν ἄνωθεν.

XVI 13] Plato Tim. p. 77 C—E: ταῦτα δὴ τὰ γένη πάντα φυτεύσαντες οἱ κρείττους τοῖς ἥττοσιν ἡμῖν τροφήν, τὸ σῶμα αὐτὸ ἡμῶν διωχέτευσαν τέμνοντες οἷον ἐν κήποις ὀχετούς, ἵνα

XVI 4 τίκτει K νοο vel νοσ P 5 ἀποστηρίγματος K 6 πεποιῆσθαι K 7 κάμψεις K νευρα, prima littera etiam η, π, altera α, ο legi possunt τουτοις vel ταυταις P 8 post εξωθεν ⌒. P; δια vel δε K., prior apex explicari potest (εἶναι) manco sensu. desidero verbum velut κλᾶν, κάμπτειν 11 ἐξ sic P 9 K 13 φλεβας potius quam φλεβες P

Digitized by Google

XVI 14 [σκευάζ]ει δύο, τὴν μ(ὲν) εἰς δ[ε]ξιὰ τὴν
15 [δὲ] εἰς εὐώνυμα, ὧν τῆς μ(ὲν) δεξιᾶς
τὰς ἀποσχίδας κ(ατα)πλέκε[ι]ν τὰ εὐώ-
νυμα μέρη, * τῆς δὲ εὐωνύμ[ου] τὰ δεξιά.
κοιλίας τε δύο ὑπάρχειν, ὧν τ[ὴ]ν μ(ὲν) ἄνω,
τὴν δὲ κάτω· καὶ τὴν κάτω ὑποκεῖσθ(αι)
20 πρὸς ὑποδοχὴν τ(ῶν) περιττωμάτ(ων).
περὶ ταύτηι δὲ γενέσθαι μακ[ρ]όν τε
καὶ εἱλιγμένον ἔντερον, ἵνα μὴ ⟨ἡ⟩ λαμβ(ανομένη)
τροφὴ ῥαιδίως κ(ατα)φέρηται, ἀλ(λὰ) ὑπομένῃ
ποσοὺς χρόνους. * ὡς γ(ὰρ) τ(ῶν) κα[τ' ε]ὐθυωρί-
25 αν κειμέν(ων) ποταμῶν τὰ ῥεύματά (ἐστιν)
[οὐκ] ἀνάσχετα, τ(ῶν) δὲ σκολιῶν ἠπιώ-
τερα διὰ τὸ ἐνκόπτεσθαι, ο(ὕτως) εἰ μ(ὲν) βρα-
[χὺ] ἐγένετο τὸ ἔντερον τὸ π(ρὸς) τὴν κάτω
κοιλίαν καὶ εὐθύ, κἂν ἐφέρετο ῥαδίως
30 [ἡ] τροφή. * ἐπεὶ δὲ σκολιόν τέ (ἐστιν) καὶ πο-
[λύμ]ηκες, ταύτηι ἐπιμένει πολλοὺς χρόνο(υς).
[κ]αὶ περὶ μ(ὲν) τοῦ σώματος τοσαῦτα.
[λ]έγει δὲ καὶ περὶ τῆς ψυχῆς, ὡς τρι-
[μ]ερής (ἐστιν), καὶ τὸ μ(έν) τι αὐτῆς (ἐστιν) λογικόν,
35 τὸ δὲ θυμικόν, τὸ δὲ ἐπιθυμητι-

ὥσπερ ἐκ νάματος ἐπιόντος ἄρδοιτο. καὶ πρῶτον μὲν ὀχετοὺς κρυφαίους ὑπὸ τὴν ξύμφυσιν τοῦ δέρματος καὶ τῆς σαρκὸς δύο φλέβας ἔτεμον νωτιαίας διδύμους, ὡς τὸ σῶμα ἐτύγχανε δεξιοῖς τε καὶ ἀριστεροῖς ὄν· ταύτας δὲ καθῆκαν παρὰ τὴν ῥάχιν, καὶ τὸν γόνιμον μεταξὺ λαβόντες μυελόν, ἵνα οὗτός τε ὅ τι μάλιστα θάλλοι, καὶ ἐπὶ τἆλλα εὕρους ἐντεῦθεν ἅτε ἐπὶ κάτ-αντες ἡ ἐπίχυσις γιγνομένη παρέχοι τὴν ὑδρείαν ὁμαλήν. μετὰ δὲ ταῦτα σχίσαντες περὶ τὴν κεφαλὴν τὰς φλέβας καὶ δι' ἀλλήλων ἐναντίας πλέξαντες διεῖσαν, τὰς μὲν ἐκ τῶν δεξιῶν ἐπὶ τἀριστερὰ τοῦ σώματος, τὰς δ' ἐκ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ κλίναντες.

XVI 20] Plato Tim. p. 72 E. 73 A: τὴν ἐσομένην ἐν ἡμῖν ποτῶν καὶ ἐδεστῶν ἀκολασίαν ᾔδεσαν οἱ ξυντιθέντες ἡμῶν τὸ γένος, καὶ ὅτι τοῦ μετρίου καὶ ἀναγκαίου διὰ μαργότητα πολλῷ χρησοίμεθα πλέονι· ἵν' οὖν μὴ φθορὰ διὰ νόσους ὀξεῖα γίγνοιτο καὶ ἀτελὲς τὸ γένος εὐθὺς τὸ θνητὸν τελευτῷ, ταῦτα προορώμενοι τῇ τοῦ περιγενησομένου πόματος ἐδέσματός τε ἕξει τὴν ὀνομαζομένην κάτω κοιλίαν ὑποδοχὴν ἔθεσαν, εἱλιξάν τε πέριξ τὴν τῶν ἐντέρων γένεσιν, ὅπως μὴ ταχὺ διεκπερῶσα ἡ τροφὴ ταχὺ πάλιν τροφῆς ἑτέρας δεῖσθαι τὸ σῶμα ἀναγκάζοι, καὶ παρέχουσα ἀπληστίαν διὰ γαστριμαργίαν ἀφιλόσοφον καὶ ἄμουσον πᾶν ἀποτελοῖ τὸ γένος, ἀνυπήκοον τοῦ θειοτάτου τῶν παρ' ἡμῖν.

XVI 14 σκευάζει incertum; ... ρασει P δεξιὰ et cetera usque ad v. 33 K
24 καθ · υθυωρι P

Digitized by Google

XVI 36 [κ]όν. καὶ τὸ μ(ὲν) λογικὸν ἀπολείπει περὶ
[τ]οὺ[ς] κ(ατὰ) τὴν κεφαλὴν τό[πους]· εὐφυὴς γ(ὰρ)
[αὔ]τῃ γί(νεται) π(ρὸς) παραδοχὴν τοῦ ἡγεμονικ(οῦ)·
[τὸ] δὲ θυμικὸν ἔταξεν περὶ τὴν καρδ(ίαν),
40 [οὐ] π[ό]ρρω μ(ὲν) τεταγμένον τοῦ λογικοῦ,
[ὑπ]οτεταγμένον δὲ τῶι λογικῶι,
[ἵν]α δὴ καὶ ὑπήκο(ον) αὐτῶι γί(νηται). * τὸ μέντοι
[γ] τὸ ἐπιθυμ(ητ)ικὸν ἔταξεν μεταξὺ δια-
[φρά]γματος καὶ ὀμφαλοῦ. * ἐπέστησεν
45 [δὲ] τὸ ἧπαρ τῆι ἐπιθυμίαι κάτοχον, ἵνα

XVI 36] Plato Tim. p. 45 AB: διὸ πρῶτον μὲν περὶ τὸ τῆς κεφαλῆς κύτος, ὑποθέντες αὐτόσε τὸ πρόσωπον, ὄργανα ἐνέδησαν τούτῳ πάσῃ τῇ τῆς ψυχῆς προνοίᾳ, καὶ διέταξαν τὸ μετέχον ἡγεμονίας τοῦτ' εἶναι, τὸ κατὰ φύσιν πρόσθεν.
XVI 39] Plato Tim. p. 69 DE. 70 A: καὶ διὰ ταῦτα δὴ σεβόμενοι μιαίνειν τὸ θεῖον, ὅ τι μὴ πᾶσα ἦν ἀνάγκη, χωρὶς ἐκείνου κατοικίζουσιν εἰς ἄλλην τοῦ σώματος οἴκησιν τὸ θνητόν, ἰσθμὸν καὶ ὅρον διοικοδομήσαντες τῆς τε κεφαλῆς καὶ τοῦ στήθους, αὐχένα μεταξὺ τιθέντες, ἵνα εἴη χωρίς. ἐν δὴ τοῖς στήθεσι καὶ τῷ καλουμένῳ θώρακι τὸ τῆς ψυχῆς θνητὸν γένος ἐνέδουν, καὶ ἐπειδὴ τὸ μὲν ἄμεινον αὐτῆς, τὸ δὲ χεῖρον ἐπεφύκει, διοικοδομοῦσι τὸ τοῦ θώρακος αὖ κύτος, διορίζοντες οἷον γυναικῶν, τὴν δὲ ἀνδρῶν χωρὶς οἴκησιν, τὰς φρένας διάφραγμα εἰς τὸ μέσον αὐτῶν τιθέντες. τὸ μετέχον οὖν τῆς ψυχῆς ἀνδρείας καὶ θυμοῦ, φιλόνεικον ὄν, κατῴκισαν ἐγγυτέρω τῆς κεφαλῆς μεταξὺ τῶν φρενῶν τε καὶ αὐχένος, ἵνα τοῦ λόγου κατήκοον ὂν κοινῇ μετ' ἐκείνου βίᾳ τὸ τῶν ἐπιθυμιῶν κατέχοι γένος, ὁπότ' ἐκ τῆς ἀκροπόλεως τῷ ἐπιτάγματι καὶ λόγῳ μηδαμῇ πείθεσθαι ἑκὸν ἐθέλοι.
XVI 42] Plato Tim. p. 70 DE. 71 AB: τὸ δὲ δὴ σίτων τε καὶ ποτῶν ἐπιθυμητικὸν τῆς ψυχῆς καὶ ὅσων ἔνδειαν διὰ τὴν τοῦ σώματος ἴσχει φύσιν, τοῦτο εἰς τὰ μεταξὺ τῶν τε φρενῶν καὶ τοῦ πρὸς τὸν ὀμφαλὸν ὅρου κατῴκισαν, οἷον φάτνην ἐν ἅπαντι τούτῳ τῷ τόπῳ τῇ τοῦ σώματος τροφῇ τεκτηνάμενοι· καὶ κατέδησαν δὴ τὸ τοιοῦτον ἐνταῦθα ὡς θρέμμα ἄγριον, τρέφειν δὲ ξυνημμένον ἀναγκαῖον, εἴπερ τι μέλλοι τὸ θνητὸν ἔσεσθαι γένος. ἵν' οὖν ἀεὶ νεμόμενον πρὸς φάτνῃ καὶ ὅ τι πορρωτάτω τοῦ βουλευομένου κατοικοῖν, θόρυβον καὶ βοὴν ὡς ἐλαχίστην παρέχον, τὸ κράτιστον καθ' ἡσυχίαν περὶ τοῦ πᾶσι κοινῇ ξυμφέροντος ἐῷ βουλεύεσθαι, διὰ ταῦτα ἐνταῦθ' ἔδοσαν αὐτῷ τὴν τάξιν. εἰδότες δὲ αὐτό, ὡς λόγου μὲν οὔτε ξυνήσειν ἔμελλεν, εἴ τέ πῃ καὶ μεταλαμβάνοι τινὸς αὐτῶν αἰσθήσεως, οὐκ ἔμφυτον αὐτῷ τὸ μέλειν τινῶν ἔσοιτο λόγων, ὑπὸ δὲ εἰδώλων καὶ φαντασμάτων νυκτός τε καὶ μεθ' ἡμέραν μάλιστα ψυχαγωγήσοιτο, τούτῳ δὴ θεὸς ἐπιβουλεύσας αὐτῷ τὴν ἧπατος ἰδέαν ξυνέστησε καὶ ἔθηκεν εἰς τὴν ἐκείνου κατοίκησιν, πυκνὸν καὶ λεῖον καὶ λαμπρὸν καὶ γλυκὺ καὶ πικρότητα ἔχον μηχανησάμενος, ἵνα ἐν αὐτῷ τῶν διανοημάτων ἡ ἐκ τοῦ νοῦ φερομένη δύναμις, οἷον ἐν κατόπτρῳ δεχομένῳ τύπους καὶ κατιδεῖν εἴδωλα παρέχοντι, φοβοῖ μὲν αὐτό, ὁπότε μέρει τῆς πικρότητος χρωμένη ξυγγενεῖ, χαλεπὴ προσενεχθεῖσα, ἀπειλῇ κατὰ πᾶν ὑπομιγνῦσα ὀξέως τὸ ἧπαρ, χολώδη χρώματα ἐμφαίνοι ξυνάγουσά τε πᾶν ῥυσὸν καὶ τραχὺ ποιοῖ.

---

36 K 37 εὐφυὴς] η male pinxit, ut facilius σι vel ει legas, P 39 K
40 πωρρω P 41 K 43. 44 K 45 κατεχον vel κατοχον P. librarius haud dubie intellegebat τῇ ἐπιθυμίᾳ κατειλημμένον, quod contrarium sententiae. κάτοπτρον Platonicum restituendum

Digitized by Google

XVII 1 τὰς ἐπιθυμίας τα[πεινοῖ τοῖς εἰδώλοις,]
τόν τε πνεύμονα π(ρὸς) τῆι κ[αρδίαι, ἧς ὀξεῖα]
ἡ φύσις, μαλακὸν τά[σσει σπόγγον, ἵνα]
ἡ καρδία, φ(ησίν), πυκινοκ[είνητος οὖσα ἀλ-]
5 λομένη μὴ [ῥηγνύηται. * τὸν δὲ σπλῆνα]
λέγει ἐγμαγ[εῖ]ο[ν (εἶναι) ἕτοιμον ἀεὶ π(αρα)κείμ(εν)ον,]
ἐπειδήπερ νοσο[ῦντι μὲν τῶι ἥπατι καὶ]
αὐτὸς συννο[σεῖ] καὶ [συναύξεται, τῶι δὲ]
ὑγιαίνοντι συνυγιαίνει, [ἀεὶ ἄγων αὐτὸ]
10 εἰς τὸ κατὰ φύσιν. καὶ περὶ τῆ[ς ψυχῆς]
δὲ ταῦτα. * λέγει δὲ γί(νεσθαι) τὰς νό[σους]
τριχῶς, ἢ παρὰ τὰ στοιχεῖα [ἢ παρὰ τὴν]

XVII 2] Plato Tim. p. 70 CD: τῇ δὲ δὴ πηδήσει τῆς καρδίας ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ καὶ τῇ τοῦ θυμοῦ ἐγέρσει, προγιγνώσκοντες ὅτι διὰ πυρὸς ἡ τοιαύτη πᾶσα ἔμελλεν οἴδησις γίγνεσθαι τῶν θυμουμένων, ἐπικουρίαν αὐτῇ μηχανώμενοι τὴν τοῦ πλεύμονος ἰδέαν ἐνεφύτευσαν, πρῶτον μὲν μαλακὴν καὶ ἄναιμον, εἶτα σήραγγας ἐντὸς ἔχουσαν οἷον σπόγγου κατατετρημένας, ἵνα τό τε πνεῦμα καὶ τὸ πόμα δεχομένη, ψύχουσα, ἀναπνοὴν καὶ ῥαστώνην ἐν τῷ καύματι παρέχοι· διὸ δὴ τῆς ἀρτηρίας ὀχετοὺς ἐπὶ τὸν πλεύμονα ἔτεμον, καὶ περὶ τὴν καρδίαν αὐτὸν περιέστησαν οἷον μάλαγμα.

XVII 4] Hippocrates de articulis [IV 124, 15L.] ἠνάγκασται γὰρ (ἡ κλεὶς) πυκινοκίνητος εἶναι [cf. Galen. ad l. c. XVIII A 415 K.]

XVII 5] Plato Tim. p. 72 CD: ἡ δ' αὖ τοῦ γείτονος αὐτῷ ξύστασις καὶ ἕδρα σπλάγχνου γέγονεν ἐξ ἀριστερᾶς χάριν ἐκείνου, τοῦ παρέχειν αὐτὸ λαμπρὸν ἀεὶ καὶ καθαρόν, οἷον κατόπτρῳ παρεσκευασμένον καὶ ἕτοιμον ἀεὶ παρακείμενον ἐκμαγεῖον· διὸ δὴ καὶ ὅταν τινὲς ἀκαθαρσίαι γίγνωνται διὰ νόσους σώματος περὶ τὸ ἧπαρ, πάντα ἡ σπληνὸς καθαίρουσα αὐτὰ δέχεται μανότης, ἅτε κοίλου καὶ ἀναίμου ὑφανθέντος· ὅθεν πληρούμενος τῶν ἀποκαθαιρομένων μέγας καὶ ὄπουλος αὐξάνεται, καὶ πάλιν, ὅταν καθαρθῇ τὸ σῶμα, ταπεινούμενος εἰς ταὐτὸν ξυνίζει.

XVII 11] Plato Tim. p. 81 E. 82 A—E: τὸ δὲ τῶν νόσων ὅθεν ξυνίσταται, δῆλόν που καὶ παντί. τεττάρων γὰρ ὄντων γενῶν, ἐξ ὧν συμπέπηγε τὸ σῶμα, γῆς πυρὸς ὕδατός τε καὶ ἀέρος, τούτων ἡ παρὰ φύσιν πλεονεξία καὶ ἔνδεια καὶ τῆς χώρας μετάστασις ἐξ οἰκείας ἐπ' ἀλλοτρίαν γιγνομένη, πυρός τε αὖ καὶ τῶν ἑτέρων, ἐπειδὴ γένη πλείονα ἑνὸς ὄντα τυγχάνει, τὸ μὴ προσῆκον ἕκαστον ἑαυτῷ προσλαμβάνειν καὶ πάνθ' ὅσα τοιαῦτα στάσεις καὶ νόσους παρέχει· παρὰ φύσιν γὰρ ἑκάστου γιγνομένου καὶ μεθισταμένου θερμαίνεται μὲν ὅσα ἂν πρότερον ψύχηται, ξηρὰ δὲ ὄντα εἰς ὕστερον γίγνεται νοτερά, καὶ κοῦφα δὴ καὶ βαρέα, καὶ πάσας πάντῃ μεταβολὰς δέχεται. μόνως γὰρ δή, φαμέν, ταὐτὸν ταὐτῷ κατὰ ταὐτὸ καὶ ὡσαύτως καὶ ἀνὰ λόγον προσγιγνόμενον καὶ ἀπογιγνόμενον ἐάσει ταὐτὸν ὂν αὐτῷ σῶν καὶ ὑγιές μένειν· ὃ δ' ἂν πλημμελήσῃ τι τούτων ἐκτὸς ἀπιὸν ἢ προσιόν, ἀλλοιότητας παμποικίλας καὶ νόσους φθοράς τε ἀπείρους παρέξεται. δευτέρων δὴ ξυστάσεων αὖ κατὰ φύσιν ξυνεστηκυιῶν δευτέρα κατανόησις νοσημάτων τῷ βουλομένῳ γίγνεται ξυννοῆσαι. μυελοῦ γὰρ ἐξ ἐκείνων ὀστοῦ τε καὶ σαρκὸς

XVII 4 πυκινοκείνητος umbras litterarum secutus K; cf. test. 5 ῥηγνύηται] prima littera ρ vel γ, ι, φ, ψ 6 εγμαγηο P; ultima ante lac. littera ο, certe non ν 7 K 8 συννοσεῖ K 10—12 K 11 δὲ] cf. 44

Digitized by Google

XIII 23 γινόμενον δὲ τὸ πλῆθο[ς . .] [καὶ] νοσοπ[ο]ιεῖν
[μ]ὴ ἅπαξ, ἀλ(λὰ) καὶ πλεονά[κι]ς. * συνίστασθ(αι)
25 [δ]έ φ(ησιν) τὸ πλῆθος τ(ῶν) περισσωμάτ(ων) τρόπωι
το]ιούτωι· * σύντηξις γίνεται ἀπὸ τῶν σω-
μάτ(ων), ἥτις ἀποκρίνεται τῇ μ(ὲν) κατὰ τὸ λόγ[ῳ]
θεωρητόν, τῆι δὲ καὶ κατὰ τὸ αἰσθητόν, —
διὰ [δ]ὲ κοιλίας, οὔρων, ὤτων, μυ[κτήρων,]
30 [σ]τόματος —, τ(ῶν) ἄλλων ἀποκρίσεων γ[ι(νομένων)]
κατὰ λόγον. εἰ μὴ γ(ὰρ) αὖ σύντηξις ἐγί[νετο]
ἀπὸ τ(ῶν) σωμάτ(ων), εἰς ἄπειρον ἂν μετ' [ὀλίγον]
εὔξετο τὰ ἡμέτερα σώματα· * καὶ δ[εόν-]
τως· προσθέσεως γ(ὰρ) γινομέν[ης],
35 μηκέτι δὲ ἀποφορᾶς, εὔλογον ἦ[ν] αὔ[ξη]σι[ν]
γί(νεσθαι) ἐπὶ πλεῖον. * ἐπ⟨ε⟩ὶ δὲ οὐ μόνον πρόσθε[σ]ις
γί(νεται) τοῖς σώμασιν, ἀλ(λὰ) πρὸς λόγον τῆς π(ροσ)θέ-
σεως καὶ ἀποφορὰ διὰ τ(ῶν) κατωνομασ-
μέν(ων) ἀποκρίσεων, ταύτῃ ἐπ' ἐλάχιστον
40 ἡ αὔξ⟨ησ⟩ις τ(ῶν) σωμάτ(ων). * * φησὶν δὲ τρέ[φ]εσθ(αι)
τὰ σώματα ὑπὸ τῆς νεαρᾶς καὶ ἀπέ-
πτου τροφῆς, γενηθείσης δὲ τῆς [πέ-]
ψεως καὶ ἀναδόσεως κενοῦσθ[αι τὰ]
ἀγγεῖα καὶ τὰς διεξόδους. * * τὸ δ[ὲ]
45 πλῆθος συνίστασθαι εἰσφερομέ[νης]
ἑτέρας τροφῆς, πρὶν τὴν πρώτ[ην]
πέψεως τυχεῖν. * * ὅταν γ(ὰρ) πρό[τερ]ο[ν]

XIV [. . . τ]ὴν τρ[οφ]ὴν π[. . . . . .]
[. . . . . .]
[καὶ ὅσοι μὲν οὖν τὰς νόσους γί(νεσθαι) λέγουσ]ιν
[διὰ τὸ] πλῆθος, [μάλιστα] ἀπὸ τ(ῶν)
5 [περισσω]μάτ[(ων)] αἰτιολογοῦντες,
[σχεδὸν] εἴρηνται. * * ἴδωμεν δὲ καὶ

VIII 23 γινόμενον] ομενον ex εσθαι corr. P litteras post πλῆθος evanidas litura deletas suspicor, ut proximum και deletum est νοσοπειειν P 25—29 K 30 στόματος K 31 K 33 εὔξετο. retinui orthographiam tum vel in Attica usitatam (cf. praeter Meisterhansium ²136 ¹¹⁹⁶ εὐξή[θη] in tit. Att. (II s. p. Chr.) *Athen. Mitth.* XVIII 193 v. 5 34 K 35 ἦν] ηι P αὔξησιν K 36 K 40 αυξις P τρέφεσθαι K 42—47 K

Digitized by Google

XIV 7 τ[οὺς ἀπὸ τῶν περισσω]μάτ(ων) καὶ
δια[χρίσεων αἰτιολογ]οῦντας τὰς
νόσ[ους κα]ὶ τοὺς ἀπὸ τῆς τ(ῶν) στοιχείων
10 συσ[τάσε]ως οἰομένους συνεστ⟨άν⟩αι τὰ
ἡμέ[τερ]α σώματα. καὶ πρῶτον ἀπὸ
Πλά[των]ος. οὗτος γ(ὰρ) φησιν τὰ ἡμέ-
τερα [σώματα συνίστασθαι ἐκ τῶν]
τεσσά[ρω]ν στοιχείων, ὅτι καὶ τὰ ἐν [κό]σ-
15 μωι γί(νεται) [ἀνὰ λό(γον)]. διαφέρειν δὲ ταῦτα·
σύνφθ[αρσιν, μ]ῖξιν, διάκρασιν. * καὶ σύν-
φθαρσι[ν μ(ὲν)] καὶ σύνχυσιν, ὅταν σώματα
διὰ ἑαυ[τῶν ὅλω]ν ἔ[χ]οντα μίαν ὑπεράν[ω]
ἀποτελέσῃ ποιότητα, ὡς ἐπὶ τῆς τετρα-
20 φαρμάκου. * μῖξις δέ (ἐστιν), [~~ὅταν~~] ὅταν σώ-

XIV 15] cf. Aristoteles de gen. et inter. A. 10 [328ª5]: ἐπεὶ δ' οὐκ ἔστιν εἰς τἀλάχιστα διαιρεθῆναι, οὔτε σύνθεσις ταὐτὸ καὶ μῖξις ἀλλ' ἕτερον δῆλον ὡς οὔτε κατὰ μικρὰ σῳζόμενα δεῖ τὰ μιγνύμενα φάναι μεμῖχθαι. σύνθεσις γὰρ ἔσται καὶ οὐ κρᾶσις οὐδὲ μῖξις, οὐδ' ἕξει τὸν αὐτὸν λόγον τῷ ὅλῳ τὸ μόριον. φαμὲν δ' εἴπερ δεῖ μεμῖχθαί τι τὸ μιχθὲν ὁμοιομερὲς εἶναι καὶ ὥσπερ τοῦ ὕδατος τὸ μέρος ὕδωρ, οὕτω καὶ τοῦ κραθέντος. ἂν δ' ᾖ κατὰ μικρὰ σύνθεσις ἡ μῖξις, οὐθὲν συμβήσεται τούτων, ἀλλὰ μόνον μεμιγμένα πρὸς τὴν αἴσθησιν. Arius Didymus apud Stob. Ecl. I 17 [I 154, 8 W. 463, 20 Doxogr.]: διαφέρειν γὰρ ἀρέσκει τοῖς ἀπὸ τῆς Στωικῆς αἱρέσεως παράθεσιν, μῖξιν, κρᾶσιν, σύγχυσιν. παράθεσιν μὲν γὰρ εἶναι σωμάτων συναφὴν κατὰ τὰς ἐπιφανείας, ὡς ἐπὶ τῶν σωρῶν ὁρῶμεν, ἐν οἷς πυροί τε καὶ κριθαὶ καὶ φακοὶ καὶ εἴ τινα τούτοις ἄλλα παραπλήσια περιέχεται καὶ τῶν ἐπὶ τῶν αἰγιαλῶν ψήφων καὶ ἄμμων. μῖξιν δ' εἶναι δύο ἢ καὶ πλειόνων σωμάτων ἀντιπαρέκτασιν δι' ὅλων, ὑπομενουσῶν τῶν συμφυῶν περὶ αὐτὰ ποιοτήτων, ὡς ἐπὶ τοῦ πυρὸς ἔχει καὶ τοῦ πεπυρακτωμένου σιδήρου· ἐπὶ τούτων γὰρ ⟨δι'⟩ ὅλων γίγνεσθαι τῶν σωμάτων τὴν ἀντιπαρέκτασιν. ὁμοίως δὲ κἀπὶ τῶν ἐν ἡμῖν ψυχῶν ἔχειν. δι' ὅλων γὰρ τῶν σωμάτων ἡμῶν ἀντιπαρεκτείνουσιν· ἀρέσκει γὰρ αὐτοῖς σῶμα διὰ σώματος ἀντιπαρήκειν. κρᾶσιν δὲ εἶναι λέγουσι δύο ἢ καὶ πλειόνων σωμάτων ὑγρῶν δι' ὅλων ἀντιπαρέκτασιν τῶν περὶ αὐτὰ ποιοτήτων ὑπομενουσῶν. [τὴν μὲν μῖξιν καὶ ἐπὶ ξηρῶν γίγνεσθαι σωμάτων, οἷον πυρὸς καὶ σιδήρου ψυχῆς τε καὶ τοῦ περιέχοντος αὐτὴν σώματος· τὴν δὲ κρᾶσιν ἐπὶ μόνων φασὶ γίνεσθαι τῶν ὑγρῶν.] συνεκφαίνεσθαι γὰρ ἐκ τῆς κράσεως τὴν ἑκάστου τῶν συγκραθέντων ὑγρῶν ποιότητα οἷον οἴνου, μέλιτος, ὕδατος, ὄξους, τῶν παραπλησίων. ὅτι δ' ἐπὶ τοιούτων κράσεων διαμένουσιν αἱ ποιότητες τῶν συγκραθέντων πρόδηλον ἐκ τοῦ πολλάκις ἐξ ἐπιμηχανήσεως ἀποχωρίζεσθαι ταῦτα ἀπ' ἀλλήλων. ἐὰν γοῦν σπόγγον ἠλαιωμένον καθῇ τις εἰς οἶνον ὕδατι κεκραμένον, ἀποχωρίσει τὸ ὕδωρ τοῦ οἴνου ἀναδραμόντος τοῦ ὕδατος εἰς τὸν σπόγγον. τὴν δὲ σύγχυσιν δύο ⟨ἢ⟩ καὶ πλειόνων ποιοτήτων περὶ τὰ σώματα μεταβολὴν εἰς ἑτέρας διαφερούσης τούτων ποιότητος γένεσιν, ὡς ἐπὶ τῆς συνθέσεως ἔχει τῶν μύρων καὶ τῶν ἰατρικῶν φαρμάκων. Philo de aetern. mundi 16. p. 503 M. 25, 23 Cumont: κατὰ δὲ σύγχυσιν ὡς ἡ παρὰ ἰατροῖς τετραφάρμακος. de confus. l. 37 (433 M.) σύγχυσίς ἐστι φθορὰ τῶν ἐξ ἀρχῆς ποιοτήτων ὡς ἐπὶ τῆς ἐν ἰατρικῇ τετραφαρμάκου συντέτευχε. cf. Gal. de elem. sec. Hipp. I 5 [I 452 K.] al.

XIV 6 desideres ἴδωμεν δὲ μετὰ τοὺς; at cf. XVII 44 sqq. et *Herm.* XXVIII 415, 29
9—13 K 15 μωι τέ[σσαρα] dubitanter K 16 σύνφθαρσιν K 17 K
18 ἑαυτῶν K

Digitized by Google

XIV 21 ματά τινα ἑαυτοῖς κ(ατὰ) παράθεσιν παρακέ(ηται)
καὶ μὴ δι' ἑαυτῶν ἥκῃ, ὡς σωρὸς πυροῦ,
κριθῆς. * δ[ιάκρ]ασις δέ (ἐστιν), ὅταν σώματά
τινα ἐπὶ [ἓν σ]υνελθόντα ἀλλήλοις
25 παρακ[έη]ται, ὡς ἐπὶ τοῦ οἰνομέλιτος
βλέπομ[εν. ἀπὸ] τοιγ(άρ)[τοι] τῆς τούτ(ων) διαφορᾶς
φησιν ὁ Πλάτων τὰ ἡμέτερα σώματα
ἐκ τ(ῶν) τεσσάρων στοιχείων συνεστάναι
κατὰ σύν[φθαρσι]ν. ταύτῃ δὲ μὴ φαίνεσθ(αι) [καθ' ἕ(ν)]
30 ἐν ἡμῖν πῦ[ρ ἢ] ἀέρα ἢ γῆν ἢ ὑγρὸν τῶι
κατὰ σύνφθαρσιν αὐτῶν τὰ ζῶι[α] [ἀπο-]
[τελεῖσθαι] [//////////////] * * ἀλλὰ γὰρ λέγει ἀνὴρ καί
τινα τ(ῶν) ἐν ἡμῖν μερ(ῶν) διαφόρου τε-
[τ]ευ[χ]έν[αι κ]ράσεως ἐκ τ(ῶν) στοιχείων.
35 οὐ γ(ὰρ) ὡσαύ[τ]ως κέκραται κεφαλὴ
ἢ χείρ, ἀλλὰ [ἄλ]λως μ(ὲν) κεφαλή, ἄλλως
δὲ θώρα[ξ, ἐ]πεὶ κοινῶς ἕκαστον τ(ῶν)
ἡμετέρων [σωμά]των διαφόρου κράσεω(ς)
τετύχηκε[ν, [ὅθεν] καὶ αὐτὰ διάφορα ἑαυτ(ῶν)]. * ἔτι γε μήν φ(ησιν)
ὡς ὁ μυελὸ(ς)

XIV 26] Plato Tim. p. 82 A: τεττάρων γὰρ ὄντων γενῶν, ἐξ ὧν συμπέπηγε τὸ σῶμα, γῆς πυρὸς ὕδατός τε καὶ ἀέρος, τούτων ἡ παρὰ φύσιν πλεονεξία καὶ ἔνδεια καὶ τῆς χώρας μετάστασις ἐξ οἰκείας ἐπ' ἀλλοτρίαν γιγνομένη, πυρός τε αὖ καὶ τῶν ἑτέρων, ἐπειδὴ γένη πλείονα ἑνὸς ὄντα τυγχάνει, τὸ μὴ προσῆκον ἕκαστον ἑαυτῷ προσλαμβάνειν καὶ πάνθ' ὅσα τοιαῦτα στάσεις καὶ νόσους παρέχει.

XIV 39] Plato Tim. p. 73 A—74 A: τὸ δὲ ὀστῶν καὶ σαρκῶν καὶ τῆς τοιαύτης φύσεως πέρι πάσης ὧδε ἔσχε. τούτοις ξύμπασιν ἀρχὴ μὲν ἡ τοῦ μυελοῦ γένεσις· οἱ γὰρ τοῦ βίου δεσμοὶ τῆς ψυχῆς τῷ σώματι ξυνδουμένης ἐν τούτῳ διαδούμενοι κατερρίζουν τὸ θνητὸν γένος· αὐτὸς δὲ ὁ μυελὸς γέγονεν ἐξ ἄλλων. τῶν γὰρ τριγώνων ὅσα πρῶτα ἀστραβῆ καὶ λεῖα ὄντα πῦρ τε καὶ ὕδωρ καὶ ἀέρα καὶ γῆν δι' ἀκριβείας μάλιστα ἦν παρασχεῖν δυνατά, ταῦτα ὁ θεὸς ἀπὸ τῶν ἑαυτῶν ἕκαστα γενῶν χωρὶς ἀποκρίνων, μιγνὺς δὲ ἀλλήλοις ξύμμετρα, πανσπερμίαν παντὶ θνητῷ γένει μηχανώμενος, τὸν μυελὸν ἐξ αὐτῶν ἀπειργάσατο, καὶ μετὰ ταῦτα δὴ φυ-

---

XIV 23—25 K 29 σύνθεσιν vel σύνκρασιν K, qui hoc praefert καθ P. litteram superscriptam explico ε 31 απο iuxta ζωι in marg. appositum post vitium insequentis v. est correctum 32 τελεῖσθαι K. nec hoc nec quod olim eius loco scriptum erat legi iam potest. post τελεῖσθαι in litura pellucet velut νομίζει 34 θευκεν P. ergo librarius τεθευκεναι dedit aspiratione confusa et vulgari simul forma verbi accita pro τετυχηκέναι quo auctor usus esse videtur, cf. v. 39. ceterum illa forma tum trita, cf. Phrynichus Lobeckii p. 395; Meinekei Analecta Alex. p. 248; G. Dindorf ad Vit. Eur. (Poet. scen. Lips. 1869) p. 18; Demetr. de eloc. 230; Philodem. de sign. 27, 36. Voll. Herc. V 2 (1843) p. 35; Not. et extr. des manuscr. XVIII 2, 211 35—37 K 38 σωμάτων K

Digitized by Google

XIV 40 συνέστηκεν [ἐ]κ τῶν τεσσάρων στοι-
χ[ε]ίων καὶ κύρ[ιος] εὐθύς (ἐστι) τ(ῶν) ἐν ἡμῖν
ἁπάντ(ων), χρώμενος πιθανότητι λόγων
τοιαύτῃ· ἀνῆφθαι γ(ὰρ) ἐκ τοῦ μυελοῦ
τὴν ψυχὴν τὴν τὸ ὅλον σῶμα διοικ(οῦσαν)

XV [evanidi versus tres]
4 κυριώτ[ατ- . . . . . .]
5 καὶ μὴν τ[. . . . . .]
καὶ [. . . . . .]
ὁστ[. . . . . .]
καὶ ἀνι[. . . . . .]
χοις [.]να[. . . . . .]
10 καὶ ἅμα [. . . . . .]
δ[.]ν τοῖς [. . . . . .]
[. . . . .]το[. . . . . .]
[. . . . . .]
ἀεὶ τὰ βόει[α . . . . . .]
15 λέγει δευ[τερ- . . . . . .]
χει[. . . .]αι [. . . . . .]

τεύων ἐν αὐτῷ κατέδει τὰ τῶν ψυχῶν γένη, σχημάτων τε ὅσα ἔμελλεν αὖ σχήσειν οἷά τε καθ' ἕκαστα εἴδη, τὸν μυελὸν αὐτὸν τοσαῦτα καὶ τοιαῦτα διῃρεῖτο σχήματα εὐθὺς ἐν τῇ διανομῇ τῇ κατ' ἀρχάς. καὶ τὴν μὲν τὸ θεῖον σπέρμα οἷον ἄρουραν μέλλουσαν ἕξειν ἐν αὐτῇ περιφερῇ πανταχῇ πλάσας ἐπωνόμασε τοῦ μυελοῦ ταύτην τὴν μοῖραν ἐγκέφαλον, ὡς ἀποτελεσθέντος ἑκάστου ζῴου τὸ περὶ τοῦτο ἀγγεῖον κεφαλὴν γενησόμενον· ὃ δ' αὖ τὸ λοιπὸν καὶ θνητὸν τῆς ψυχῆς ἔμελλε καθέξειν, ἅμα στρογγύλα καὶ προμήκη διῃρεῖτο σχήματα, μυελὸν δὲ πάντα ἐπεφήμισε, καὶ καθάπερ ἐξ ἀγκυρῶν βαλλόμενος ἐκ τούτων πάσης ψυχῆς δεσμοὺς περὶ τοῦτο ξύμπαν ἤδη τὸ σῶμα ἡμῶν ἀπειργάζετο, στέγασμα μὲν αὐτῷ πρῶτον ξυμπηγνὺς περίβολον ὀστέϊνον· τὸ δὲ ὀστοῦν ξυνίστησιν ὧδε. γῆν διαττήσας καθαρὰν καὶ λείαν ἐφύρασε καὶ ἔδευσε μυελῷ, καὶ μετὰ τοῦτο εἰς πῦρ αὐτὸ ἐντίθησι, μετ' ἐκεῖνο δὲ εἰς ὕδωρ βάπτει, πάλιν δὲ εἰς πῦρ αὖθίς τε εἰς ὕδωρ· μεταφέρων δ' οὕτω πολλάκις εἰς ἑκάτερον ὑπ' ἀμφοῖν ἄτηκτον ἀπειργάσατο. καταχρώμενος δὴ τούτῳ περὶ μὲν τὸν ἐγκέφαλον αὐτοῦ σφαῖραν περιετόρνευσεν ὀστεΐνην, ταύτῃ δὲ στενὴν διέξοδον κατελείπετο· καὶ περὶ τὸν διαυχένιον ἅμα καὶ νωτιαῖον μυελὸν ἐξ αὐτοῦ σφονδύλους πλάσας ὑπέτεινεν οἷον στρόφιγγας, ἀρξάμενος ἀπὸ τῆς κεφαλῆς, διὰ παντὸς τοῦ κύτους.

XV 14](?) Plato Rep. I 338c: εἰ Πουλυδάμας ἡμῶν κρείττων ὁ παγκρατιαστὴς καὶ αὐτῷ ξυμφέρει τὰ βόεια κρέα πρὸς τὸ σῶμα, τοῦτο τὸ σιτίον εἶναι καὶ ἡμῖν τοῖς ἥττοσιν ἐκείνου ξυμφέρον ἅμα καὶ δίκαιον.

XIV 40 K 41 χοιων P fortasse κυριως P, nisi κυριώτατος fuit nescio quo pacto truncatum cf. XV 4

XV 14 vel ασπαβοερ P

Digitized by Google

XV 17 στοιχείων ἐχ[. . . . . .]
συνεστηκ[. . . . . .]
κοιλ[ε]ιῶν κα[. . . . . .]
20 ἐκκειμέν[ων. * διαι[ρῶν δὲ τὸν μυελὸν εἰς]
μέρη τινὰ κα[τὰ ἕκαστον] μέρος [δ]ιά-
φορον σχῆμα ἀπο[δίδωσιν· τὸ] γ(ὰρ) ἐνκεφά-
λου σχῆμα λεγό[μ(εν)όν φησιν] (εἶναι) καὶ περι-
φερὲς καὶ κεκυ[κλωμ(έν)ον, *] τοῦ δὲ λοι-
25 ποῦ μυελοῦ ὁ ν[ωτιαῖος περι]έχουσι
ὀστέοις καταλείπ[εται στέγειν.] αὐτῆς [τε
της] τε τῆς [ψυχῆς γ̄ μέρη] (εἶναι) λέγων
τὸ μ(ὲν) λογιστικὸν [ὡς ὀχυρωτάτωι] τῶι ἐν[κε-]
φάλωι ἀπολείπε[ι, τὸ μ(έν)τοι ἄλογ]ον μέρο[ς]
30 αὐτῆς ἐν τῶι [/////] [ν[ωτιαίωι] μυ]ελῶι. συ[ν-]
εστάναι δέ φ(ησιν) τὰ [ὀστέα μίξει γ]ῆς τε καθ(αρᾶς)
καὶ μυελοῦ, ἐναλ[λαγῆναι δὲ τ]οῦ πυρός
τε αὐτὰ ἐνπήξει [καὶ τετ]ηκότος. * * τὴν]

XV 26] Plato Tim. p. 69 D E: καὶ διὰ ταῦτα δὴ σεβόμενοι μιαίνειν τὸ θεῖον, ὅ τι μὴ πᾶσα ἦν ἀνάγκη, χωρὶς ἐκείνου κατοικίζουσιν εἰς ἄλλην τοῦ σώματος οἴκησιν τὸ θνητόν, ἰσθμὸν καὶ ὅρον διοικοδομήσαντες τῆς τε κεφαλῆς καὶ τοῦ στήθους, αὐχένα μεταξὺ τιθέντες, ἵνα εἴη χωρίς. ἐν δὴ τοῖς στήθεσι καὶ τῷ καλουμένῳ θώρακι τὸ τῆς ψυχῆς θνητὸν γένος ἐνέδουν.
XV 31] Plato Tim. p. 80 E. 81 A—C: ὃ καλοῦμεν αἷμα, νομὴν σαρκῶν καὶ ξύμπαντος τοῦ σώματος, ὅθεν ὑδρευόμενα ἕκαστα πληροῖ τὴν τοῦ κενουμένου βάσιν· ὁ δὲ τρόπος τῆς πληρώσεως ἀποχωρήσεώς τε γίγνεται, καθάπερ ἐν τῷ παντὶ παντὸς ἡ φορὰ γέγονεν, ἣν τὸ ξυγγενὲς πᾶν φέρεται πρὸς ἑαυτό. τὰ μὲν γὰρ δὴ περιεστῶτα ἐκτὸς ἡμᾶς τήκει τε ἀεὶ καὶ διανέμει πρὸς ἕκαστον εἶδος τὸ ὁμόφυλον ἀποπέμποντα, τὰ δὲ ἔναιμα αὖ, κερματισθέντα ἐντὸς παρ' ἡμῖν καὶ περιειλημμένα ὥσπερ ὑπ' οὐρανοῦ ξυνεστῶτος ἑκάστου τοῦ ζῴου, τὴν τοῦ παντὸς ἀναγκάζεται μιμεῖσθαι φοράν· πρὸς τὸ ξυγγενὲς οὖν φερόμενον ἕκαστον τῶν ἐντὸς μερισθέντων τὸ κενωθὲν τότε πάλιν ἀνεπλήρωσεν. ὅταν μὲν δὴ πλέον τοῦ ἐπιρρέοντος ἀπίῃ, φθίνει πᾶν, ὅταν δὲ ἔλαττον, αὐξάνεται. νέα μὲν οὖν ξύστασις τοῦ παντὸς ζῴου, καινὰ τὰ τρίγωνα οἷον ἐκ δρυόχων ἔτι ἔχουσα τῶν γενῶν, ἰσχυρὰν μὲν τὴν ξύγκλεισιν αὐτῶν πρὸς ἄλληλα κέκτηται, ξυμπέπηγε δὲ ὁ πᾶς ὄγκος αὐτῆς ἀπαλός, ἅτ' ἐκ μυελοῦ μὲν νεωστὶ γεγονυίας, τεθραμμένης δὲ ἐν γάλακτι.
XV 33] Plato Tim. p. 74 C D: ταῦτα ἡμῶν διανοηθεὶς ὁ κηροπλάστης, ὕδατι μὲν καὶ πυρὶ

XV 20—37 ex compluribus maioribus minoribusque fragmentis paullatim concreverunt. 25 quod aegre desideratur τοῖς ante περιέχουσι fortasse superscripserat P. sed verbum praestiterim cf. Herophilus ap. Ruf. de partt. corp. p. 184,15 ed. Dar. μυελός . . . ὑπὸ ὀστῶν περιεχόμενος 26 στέγειν (ex Platonico στέγασμα 73 D [cf. test. p. 23,8] ductum) dubium 28 incertum supplementum 30 scriptum fuit ante μυελῶι deletum aliquod vocabulum, cuius prima littera extat etsi oblitterata. superscripsit ν[ωτιαιωι] P, quod (ut v. 25) ex Platonis p. 73 D ὃ δ' αὖ τὸ λοιπὸν κτλ. [cf. t. p. 23,5] sumptum est 32 spectat ad Plat. 73 E [cf. t. p. 23,10], sed supplementa non certa

Digitized by Google

XV 34 δὲ σάρκα συνεστά[να]ι ἔκ τε γῆ[ς καὶ ὕδα]τος
35 καὶ πυρὸς καὶ ζύμης τιν[ὸς ἐχούσης] ὑ-
γρότητα ἁλμυράν τε καὶ δρειμ[εῖαν. * *] παρεσ-
πάρθαι δ' ἐν τῆι σαρκὶ καὶ ὑγροτ[έραν τι]νὰ
θερμότητα πεποιημένην. * τ[ὸ ὑγρὸ]ν
δὲ ἐν ταῖς ὑπερβαλλούσαις ἐν[καύσεσι]
40 τη[ι]κόμε[ν]ον ψύχειν [τὴν θερμασίαν, ἐν]
ταῖς δὲ ὑπερβ[αλ]λούσαις ψύξ[εσιν ἐν]αν-
τιοῦσθαι καὶ [θερμ]ὸν παρέχ[εσθαι] τὸ
σῶμα. * τὰς [δὲ] πλείστας [σάρκα]ς (εἶναι)
περὶ τὰ ἀψυχ[ότ]ερα τ(ῶν) ὀστῶν· [περὶ] μηροὺ[ς]
45 γὰρ καὶ κνήμ[ας] καὶ γλουτοὺ[ς πο]λλὰς
σάρκας ὑπάρ[χει]ν, ἐπειδήπ[ερ αὐτ(ῶν)] τὰ
ὀστέα ἀψυχ[ότ]ερά (ἐστιν), * * περ[ὶ δὲ τὴν] κεφα-

XVI λὴν ὀλί[γ]ας, * περὶ [δὲ] γ[λῶσσαν] ποι[εῖ]ται αὐτῆς
ὀστέα τἀψυχότερα [μεστά. *] ἀμέλει ἀρ-

καὶ γῇ ξυμμίξας καὶ ξυναρμόσας, ἐξ ὀξέος καὶ ἁλμυροῦ ξυνθεὶς ζύμωμα ὑπομίξας αὐτοῖς σάρκα ἔγχυμον καὶ μαλακὴν ξυνέστησε.

XV 36] Plato Tim. p. 74 B C: τὴν δὲ σάρκα προβολὴν μὲν καυμάτων, πρόβλημα δὲ χειμώνων, ἔτι δὲ πτωμάτων οἷον τὰ πιλητὰ ἔσεσθαι κτήματα, σώμασι μαλακῶς καὶ πράως ὑπείκουσαν, θερμὴν δὲ νοτίδα ἐντὸς ἑαυτῆς ἔχουσαν θέρους μὲν ἀνιδίουσαν καὶ νοτιζομένην ἔξωθεν ψῦχος κατὰ πᾶν τὸ σῶμα παρέξειν οἰκεῖον, διὰ χειμῶνος δὲ πάλιν αὖ τούτῳ τῷ πυρὶ τὸν προσφερόμενον ἔξωθεν καὶ περιιστάμενον πάγον ἀμυνεῖσθαι μετρίως.

XV 43] Plato Tim. 74 E 75 A: ὅσα μὲν οὖν ἐμψυχότατα τῶν ὀστῶν ἦν, ὀλιγίσταις συνέφραττε σαρξίν, ἃ δ' ἀψυχότατα ἐντός, πλείσταις καὶ πυκνοτάταις, καὶ δὴ καὶ κατὰ τὰς ξυμβολὰς τῶν ὀστῶν, ὅπῃ μήτινα ἀνάγκην ὁ λόγος ἀπέφαινε δεῖν αὐτὰς εἶναι, βραχεῖαν σάρκα ἔφυσεν, ἵνα μήτε ἐμποδὼν ταῖς καμπαῖσιν οὖσαι δύσφορα τὰ σώματα ἀπεργάζοιντο, ἅτε δυσκίνητα γινόμενα, μήτ' αὖ πολλαὶ καὶ πυκναὶ σφόδρα τε ἐν ἀλλήλαις ἐμπεπιλημέναι, διὰ στερεότητα ἀναισθησίαν ἐμποιοῦσαι, δυσμνημονευτότερα καὶ κωφότερα τὰ περὶ τὴν διάνοιαν ποιοῖεν. διὸ δὴ τό τε τῶν μηρῶν καὶ κνημῶν καὶ τὸ περὶ τὴν τῶν ἰσχίων φύσιν τά τε τῶν βραχιόνων ὀστᾶ καὶ τὰ τῶν πήχεων, καὶ ὅσα ἄλλα ἡμῶν ἄναρθρα.

XVI 1] Plato Tim. 75 A—C: ὅσα τε ἐντὸς ὀστᾶ δι' ὀλιγότητα ψυχῆς ἐν μυελῷ κενὰ ἐστι φρονήσεως, ταῦτα πάντα συμπεπλήρωται σαρξίν· ὅσα δ' ἔμφρονα, ἧττον, εἰ μή πού τινα αὐτὴν καθ' αὑτὴν αἰσθήσεων ἕνεκα σάρκα οὕτω ξυνέστησεν, οἷον τὸ τῆς γλώττης εἶδος. τὰ δὲ πλεῖστα ἐκείνως· ἡ γὰρ ἐξ ἀνάγκης γιγνομένη καὶ ξυντρεφομένη φύσις οὐδαμῇ προσδέχεται πυκνὸν ὀστοῦν καὶ

XV 39 fortasse μὲν intercidit. post ταῖς εν ante lac. claro P 40 τηικομε . . [ν]ον spatio propter papyri pessimam illic condicionem relicto P 41 ἐναντιοῦσθαι K 43 δὲ K 45 κνήμας K 46 ὑπάρχειν K 47 K

XVI 1 γ[λῶσσαν] hasta obliqua extat in P; supplementa incerta αὐτῆς] sc. σαρκός 2 ταψυχοτερα P: τὰ ψυχ⟨ρ⟩ότερα coni. K

Digitized by Google

XVI 3 [γεῖν φ(ησιν) τὰ παχέα·] λέγεσθαι γ(άρ)· 'παχεῖα γαστὴρ
[λεπτὸν] οὐ [τ]ίκτει νόο[ν.' * *] τά τε ὀστέα φ(ησὶν)
5 [πεπηγέ]ναι [ἀ]ποστηρί[γμα]τ[ο]ς χάριν.
ἄρθρα δὲ α[ὐ]τοῖς πεποι[ῆ]σθαι π(ρὸς) τὰς συ-
στολὰς καὶ [κ]άμψεις. * νεῦρα δὲ τούτοις
ἔξωθεν [. .] τὴν σκληρότητα τ(ῶν) ὀστ(ῶν)
διὰ τὰς κ(ατὰ) πρ[ο]αίρεσιν κειν[ή]σεις. * σάρκας
10 δὲ διὰ προβολὴν ψύχους τε καὶ θάλ-
πους. * τά τε νεῦρα συνεστάναι ἐξ
σαρκὸς ἀζύμου καὶ ὀστέων κ(ατά) τινα
ἰδίαν κρᾶσιν. * * ὧδε καὶ φλέβας· * παρα-

σάρκα πολλὴν ἅμα τε αὐτοῖς ὀξυήκοον αἴσθησιν· μάλιστα γὰρ ἂν αὐτὰ πάντων ἔσχεν ἡ περὶ τὴν κεφαλὴν ξύστασις, εἴπερ ἅμα ξυμπίπτειν ἠθελησάτην, καὶ τὸ τῶν ἀνθρώπων γένος σαρκώδη ἔχον ἐφ' ἑαυτῷ καὶ νευρώδη κρατεράν τε κεφαλὴν βίον ἂν διπλοῦν καὶ πολλαπλοῦν καὶ ὑγιεινότερον καὶ ἀλυπότερον τοῦ νῦν κατεκτήσατο· νῦν δὲ τοῖς περὶ τὴν ἡμετέραν γένεσιν δημιουργοῖς ἀναλογιζομένοις, πότερον πολυχρονιώτερον χεῖρον ἢ βραχυχρονιώτερον βέλτιον ἀπεργάσαιντο γένος, συνέδοξε τοῦ πλείονος βίου, φαυλοτέρου δέ, τὸν ἐλάττονα ἀμείνονα ὄντα παντὶ πάντως αἱρετέον· ὅθεν δὴ μανῷ μὲν ὀστῷ, σαρξὶ δὲ καὶ νεύροις κεφαλήν, ἅτε οὐδὲ καμπὰς ἔχουσαν, οὐ ξυνεστέγασαν. κατὰ πάντα οὖν ταῦτα εὐαισθητοτέρα μὲν καὶ φρονιμωτέρα, πολὺ δὲ ἀσθενεστέρα παντὸς ἀνδρὸς προσετέθη κεφαλὴ σώματι.

XVI 3] cf. Galenus Thrasybulus [II 85,6 Helmreich, V 878 K.]: καὶ τοῦτο πρὸς ἁπάντων σχεδὸν ἀνθρώπων ᾄδεται, διότι πάντων ἐστὶν ἀληθέστατον, ὡς γαστὴρ ἡ παχεῖα τὸν νοῦν οὐ τίκτει τὸν λεπτόν (sic codd.). versum ipsum dant Gregorius Naz. II p. 213 D alii cf. Leutsch Paroem. II 337,22 a. Buecheler M. Rhen. 43, 295; Nauck F. T.[2] XV; Otto *Sprichw. d. Röm.* n. 1861.

XVI 4] Plato Tim. p. 74 AB: καὶ τὸ πᾶν δὴ σπέρμα διασῴζων οὕτω λιθοειδεῖ περιβόλῳ ξυνέφραξεν, ἐμποιῶν ἄρθρα, τῇ θατέρου προσχρώμενος ἐν αὐτοῖς ὡς μέσῃ ἐνισταμένῃ δυνάμει, κινήσεως καὶ κάμψεως ἕνεκα. τὴν δ' αὖ τῆς ὀστεΐνης φύσεως ἕξιν ἡγησάμενος τοῦ δέοντος κραυροτέραν εἶναι καὶ ἀκαμπτοτέραν, διάπυρόν τ' αὖ γιγνομένην καὶ πάλιν ψυχομένην σφακελίσασαν ταχὺ διαφθερεῖν τὸ σπέρμα ἐντὸς αὐτῆς, διὰ ταῦτα οὕτω τὸ τῶν νεύρων καὶ τὸ τῆς σαρκὸς γένος ἐμηχανᾶτο, ἵνα τῷ μὲν ἅπαντα τὰ μέλη ξυνδήσας ἐπιτεινομένῳ καὶ ἀνιεμένῳ περὶ τοὺς στρόφιγγας καμπτόμενον τὸ σῶμα καὶ ἐκτεινόμενον παρέχοι, τὴν δὲ σάρκα προβολὴν μὲν καυμάτων, πρόβλημα δὲ χειμώνων.

XVI 11] Plato Tim. p. 74 D: τὴν δὲ τῶν νεύρων φύσιν ἐξ ὀστοῦ καὶ σαρκὸς ἀζύμου κράσεως μίαν ἐξ ἀμφοῖν μέσην δυνάμει ξυνεκεράσατο, ξανθῷ χρώματι προσχρώμενος. ὅθεν συντονωτέραν μὲν καὶ γλισχροτέραν σαρκῶν, μαλακωτέραν δὲ ὀστῶν ὑγροτέραν τε ἐκτήσατο δύναμιν νεῦρα· οἷς ξυμπεριλαβὼν ὁ θεὸς ὀστᾶ καὶ μυελόν, δήσας πρὸς ἄλληλα νεύροις, μετὰ ταῦτα σαρξὶ πάντα αὐτὰ κατεσκίασεν ἄνωθεν.

XVI 13] Plato Tim. p. 77 C—E: ταῦτα δὴ τὰ γένη πάντα φυτεύσαντες οἱ κρείττους τοῖς ἥττοσιν ἡμῖν τροφήν, τὸ σῶμα αὐτὸ ἡμῶν διωχέτευσαν τέμνοντες οἷον ἐν κήποις ὀχετούς, ἵνα

XVI 4 τίκτει K νοο vel νοσ P 5 ἀποστηρίγματος K 6 πεποιῆσθαι K 7 κάμψεις K νευρα, prima littera etiam η, π, altera α, ο legi possunt τουτοις vel ταυταις P 8 post εξωθεν ⌒. P; δια vel δε K., prior apex explicari potest (εἶναι) manco sensu. desidero verbum velut κλᾶν, κάμπτειν 11 ἐξ sic P 9 K 13 φλεβας potius quam φλεβες P

Digitized by Google

XVI 14 [σκευάζ]ει δύο, τὴν μ(ὲν) εἰς δ[ε]ξιὰ τὴν
15 [δὲ] εἰς εὐώνυμα, ὧν τῆς μ(ὲν) δεξιᾶς
τὰς ἀποσχίδας κ(ατα)πλέκε[ι]ν τὰ εὐώ-
νυμα μέρη, * τῆς δὲ εὐωνύμ[ου] τὰ δεξιά.
κοιλίας τε δύο ὑπάρχειν, ὧν τ[ὴ]ν μ(ὲν) ἄνω,
τὴν δὲ κάτω· καὶ τὴν κάτω ὑποκεῖσθ(αι)
20 πρὸς ὑποδοχὴν τ(ῶν) περιττωμάτ(ων).
περὶ ταύτηι δὲ γενέσθαι μακ[ρ]όν τε
καὶ εἱλιγμένον ἔντερον, ἵνα μὴ ⟨ἡ⟩ λαμβ(ανομένη)
τροφὴ ῥαιδίως κ(ατα)φέρηται, ἀλ(λὰ) ὑπομένῃ
ποσοὺς χρόνους. * ὡς γ(ὰρ) τ(ῶν) κα[τ' ε]ὐθυωρί-
25 αν κειμέν(ων) ποταμῶν τὰ ῥεύματά (ἐστιν)
[οὐκ] ἀνάσχετα, τ(ῶν) δὲ σκολιῶν ἠπιώ-
τερα διὰ τὸ ἐνκόπτεσθαι, ο(ὕτως) εἰ μ(ὲν) βρα-
[χὺ] ἐγένετο τὸ ἔντερον τὸ π(ρὸς) τὴν κάτω
κοιλίαν καὶ εὐθύ, κἂν ἐφέρετο ῥαδίως
30 [ἡ] τροφή. * ἐπεὶ δὲ σκολιόν τέ (ἐστιν) καὶ πο-
[λύμ]ηκες, ταύτηι ἐπιμένει πολλοὺς χρόνο(υς).
[κ]αὶ περὶ μ(ὲν) τοῦ σώματος τοσαῦτα.
[λ]έγει δὲ καὶ περὶ τῆς ψυχῆς, ὡς τρι-
[μ]ερής (ἐστιν), καὶ τὸ μ(έν) τι αὐτῆς (ἐστιν) λογικόν,
35 τὸ δὲ θυμικόν, τὸ δὲ ἐπιθυμητι-

ὥσπερ ἐκ νάματος ἐπιόντος ἄρδοιτο. καὶ πρῶτον μὲν ὀχετοὺς κρυφαίους ὑπὸ τὴν ξύμφυσιν τοῦ δέρματος καὶ τῆς σαρκὸς δύο φλέβας ἕτεμον νωτιαίας διδύμους, ὡς τὸ σῶμα ἐτύγχανε δεξιοῖς τε καὶ ἀριστεροῖς ὄν· ταύτας δὲ καθῆκαν παρὰ τὴν ῥάχιν, καὶ τὸν γόνιμον μεταξὺ λαβόντες μυελόν, ἵνα οὗτός τε ὅ τι μάλιστα θάλλοι, καὶ ἐπὶ τἆλλα εὕρους ἐντεῦθεν ἅτε ἐπὶ κάτ-αντες ἡ ἐπίχυσις γιγνομένη παρέχοι τὴν ὑδρείαν ὁμαλήν. μετὰ δὲ ταῦτα σχίσαντες περὶ τὴν κεφαλὴν τὰς φλέβας καὶ δι' ἀλλήλων ἐναντίας πλέξαντες διεῖσαν, τὰς μὲν ἐκ τῶν δεξιῶν ἐπὶ τἀριστερὰ τοῦ σώματος, τὰς δ' ἐκ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ κλίναντες.

XVI 20] Πλατο Tim. p. 72 E. 73 A: τὴν ἐσομένην ἐν ἡμῖν ποτῶν καὶ ἐδεστῶν ἀκολασίαν ᾔδεσαν οἱ ξυντιθέντες ἡμῶν τὸ γένος, καὶ ὅτι τοῦ μετρίου καὶ ἀναγκαίου διὰ μαργότητα πολλῷ χρησοίμεθα πλέονι· ἵν' οὖν μὴ φθορὰ διὰ νόσους ὀξεῖα γίγνοιτο καὶ ἀτελὲς τὸ γένος εὐθὺς τὸ θνητὸν τελευτῷ, ταῦτα προορώμενοι τῇ τοῦ περιγενησομένου πόματος ἐδέσματός τε ἕξει τὴν ὀνομαζομένην κάτω κοιλίαν ὑποδοχὴν ἔθεσαν, εἱλιξάν τε πέριξ τὴν τῶν ἐντέρων γένεσιν, ὅπως μὴ ταχὺ διεκπερῶσα ἡ τροφὴ ταχὺ πάλιν τροφῆς ἑτέρας δεῖσθαι τὸ σῶμα ἀναγκάζοι, καὶ παρέχουσα ἀπληστίαν διὰ γαστριμαργίαν ἀφιλόσοφον καὶ ἄμουσον πᾶν ἀποτελοῖ τὸ γένος, ἀνυπήκοον τοῦ θειοτάτου τῶν παρ' ἡμῖν.

XVI 14 σκευάζει incertum; ... ρασει P δεξιὰ et cetera usque ad v. 33 K
24 καθ · υθυωρι P

Digitized by Google

XVI 36 [κ]όν. καὶ τὸ μ(ὲν) λογικὸν ἀπολείπει περὶ
[τ]οὺ[ς] κ(ατὰ) τὴν κεφαλὴν τό[πους]· εὐφυὴς γ(ὰρ)
[αὕ]τη γί(νεται) π(ρὸς) παραδοχὴν τοῦ ἡγεμονικ(οῦ)·
[τὸ] δὲ θυμικὸν ἔταξεν περὶ τὴν καρδ(ίαν),
40 [οὐ] π[ό]ρρω μ(ὲν) τεταγμένον τοῦ λογικοῦ,
[ὑπ]οτεταγμένον δὲ τῶι λογικῶι,
[ἵν]α δὴ καὶ ὑπήκο⟨ον⟩ αὐτῶι γί(νηται). * τὸ μέντοι
[γ] τὸ ἐπιθυμ⟨ητ⟩ικὸν ἔταξεν μεταξὺ δια-
[φρά]γματος καὶ ὀμφαλοῦ. * ἐπέστησεν
45 [δὲ] τὸ ἧπαρ τῆι ἐπιθυμίαι κάτοχον, ἵνα

XVI 36] Plato Tim. p. 45 AB: διὸ πρῶτον μὲν περὶ τὸ τῆς κεφαλῆς κύτος, ὑποθέντες αὐτόσε τὸ πρόσωπον, ὄργανα ἐνέδησαν τούτῳ πάσῃ τῇ τῆς ψυχῆς προνοίᾳ, καὶ διέταξαν τὸ μετέχον ἡγεμονίας τοῦτ' εἶναι, τὸ κατὰ φύσιν πρόσθεν.
XVI 39] Plato Tim. p. 69 DE. 70 A: καὶ διὰ ταῦτα δὴ σεβόμενοι μιαίνειν τὸ θεῖον, ὅ τι μὴ πᾶσα ἦν ἀνάγκη, χωρὶς ἐκείνου κατοικίζουσιν εἰς ἄλλην τοῦ σώματος οἴκησιν τὸ θνητόν, ἰσθμὸν καὶ ὅρον διοικοδομήσαντες τῆς τε κεφαλῆς καὶ τοῦ στήθους, αὐχένα μεταξὺ τιθέντες, ἵνα εἴη χωρίς. ἐν δὴ τοῖς στήθεσι καὶ τῷ καλουμένῳ θώρακι τὸ τῆς ψυχῆς θνητὸν γένος ἐνέδουν, καὶ ἐπειδὴ τὸ μὲν ἄμεινον αὐτῆς, τὸ δὲ χεῖρον ἐπεφύκει, διοικοδομοῦσι τὸ τοῦ θώρακος αὖ κύτος, διορίζοντες οἷον γυναικῶν, τὴν δὲ ἀνδρῶν χωρὶς οἴκησιν, τὰς φρένας διάφραγμα εἰς τὸ μέσον αὐτῶν τιθέντες. τὸ μετέχον οὖν τῆς ψυχῆς ἀνδρείας καὶ θυμοῦ, φιλόνεικον ὄν, κατῴκισαν ἐγγυτέρω τῆς κεφαλῆς μεταξὺ τῶν φρενῶν τε καὶ αὐχένος, ἵνα τοῦ λόγου κατήκοον ὂν κοινῇ μετ' ἐκείνου βίᾳ τὸ τῶν ἐπιθυμιῶν κατέχοι γένος, ὁπότ' ἐκ τῆς ἀκροπόλεως τῷ ἐπιτάγματι καὶ λόγῳ μηδαμῇ πείθεσθαι ἑκὸν ἐθέλοι.
XVI 42] Plato Tim. p. 70 DE. 71 AB: τὸ δὲ δὴ σίτων τε καὶ ποτῶν ἐπιθυμητικὸν τῆς ψυχῆς καὶ ὅσων ἔνδειαν διὰ τὴν τοῦ σώματος ἴσχει φύσιν, τοῦτο εἰς τὰ μεταξὺ τῶν τε φρενῶν καὶ τοῦ πρὸς τὸν ὀμφαλὸν ὅρου κατῴκισαν, οἷον φάτνην ἐν ἅπαντι τούτῳ τῷ τόπῳ τῇ τοῦ σώματος τροφῇ τεκτηνάμενοι· καὶ κατέδησαν δὴ τὸ τοιοῦτον ἐνταῦθα ὡς θρέμμα ἄγριον, τρέφειν δὲ ξυνημμένον ἀναγκαῖον, εἴπερ τι μέλλοι τὸ θνητὸν ἔσεσθαι γένος. ἵν' οὖν ἀεὶ νεμόμενον πρὸς φάτνῃ καὶ ὅ τι πορρωτάτω τοῦ βουλευομένου κατοικοῦν, θόρυβον καὶ βοὴν ὡς ἐλαχίστην παρέχον, τὸ κράτιστον καθ' ἡσυχίαν περὶ τοῦ πᾶσι κοινῇ ξυμφέροντος ἐῷ βουλεύεσθαι, διὰ ταῦτα ἐνταῦθ' ἔδοσαν αὐτῷ τὴν τάξιν. εἰδότες δὲ αὐτό, ὡς λόγου μὲν οὔτε ξυνήσειν ἔμελλεν, εἴ τέ πῃ καὶ μεταλαμβάνοι τινὸς αὐτῶν αἰσθήσεως, οὐκ ἔμφυτον αὐτῷ τὸ μέλειν τινῶν ἔσοιτο λόγων, ὑπὸ δὲ εἰδώλων καὶ φαντασμάτων νυκτός τε καὶ μεθ' ἡμέραν μάλιστα ψυχαγωγήσοιτο, τούτῳ δὴ θεὸς ἐπιβουλεύσας αὐτῷ τὴν ἥπατος ἰδέαν ξυνέστησε καὶ ἔθηκεν εἰς τὴν ἐκείνου κατοίκησιν, πυκνὸν καὶ λεῖον καὶ λαμπρὸν καὶ γλυκὺ καὶ πικρότητα ἔχον μηχανησάμενος, ἵνα ἐν αὐτῷ τῶν διανοημάτων ἡ ἐκ τοῦ νοῦ φερομένη δύναμις, οἷον ἐν κατόπτρῳ δεχομένῳ τύπους καὶ κατιδεῖν εἴδωλα παρέχοντι, φοβοῖ μὲν αὐτό, ὁπότε μέρει τῆς πικρότητος χρωμένη ξυγγενεῖ, χαλεπὴ προσενεχθεῖσα, ἀπειλῇ κατὰ πᾶν ὑπομιγνῦσα ὀξέως τὸ ἧπαρ, χολώδη χρώματα ἐμφαίνοι ξυνάγουσά τε πᾶν ῥυσὸν καὶ τραχὺ ποιοῖ.

---

36 K 37 εὐφυὴς] η male pinxit, ut facilius σι vel ει legas, P 39 K
40 πωρρω P 41 K 43. 44 K 45 κατεχον vel κατοχον P. librarius haud dubie intellegebat τῇ ἐπιθυμίᾳ κατειλημμένον, quod contrarium sententiae. κάτοπτρον Platonicum restituendum

Digitized by Google

XVII 1 τὰς ἐπιθυμίας τα[πεινοῖ τοῖς εἰδώλοις,]
τόν τε πνεύμονα π(ρὸς) τῆι κ[αρδίαι, ἧς ὀξεῖα]
ἡ φύσις, μαλακὸν τά[σσει σπόγγον, ἵνα]
ἡ καρδία, φ(ησίν), πυκινοκ[είνητος οὖσα ἁλ-]
5 λομένη μὴ [ῥηγνύηται. * τὸν δὲ σπλῆνα]
λέγει ἐγμαγ[εῖ]ο[ν (εἶναι) ἕτοιμον ἀεὶ π(αρα)κείμ(εν)ον,]
ἐπειδήπερ νοσο[ῦντι μὲν τῶι ἥπατι καὶ]
αὐτὸς συννο[σεῖ] καὶ [συναύξεται, τῶι δὲ]
ὑγιαίνοντι συνυγιαίνει, [ἀεὶ ἄγων αὐτὸ]
10 εἰς τὸ κατὰ φύσιν. καὶ περὶ τῆ[ς ψυχῆς]
δὲ ταῦτα. * λέγει δὲ γί(νεσθαι) τὰς νό[σους]
τριχῶς, ἢ παρὰ τὰ στοιχεῖα [ἢ παρὰ τὴν]

XVII 2] Plato Tim. p. 70 CD: τῇ δὲ δὴ πηδήσει τῆς καρδίας ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ καὶ τῇ τοῦ θυμοῦ ἐγέρσει, προγιγνώσκοντες ὅτι διὰ πυρὸς ἡ τοιαύτη πᾶσα ἔμελλεν οἴδησις γίγνεσθαι τῶν θυμουμένων, ἐπικουρίαν αὐτῇ μηχανώμενοι τὴν τοῦ πλεύμονος ἰδέαν ἐνεφύτευσαν, πρῶτον μὲν μαλακὴν καὶ ἄναιμον, εἶτα σήραγγας ἐντὸς ἔχουσαν οἷον σπόγγου κατατετρημένας, ἵνα τό τε πνεῦμα καὶ τὸ πόμα δεχομένη, ψύχουσα, ἀναπνοὴν καὶ ῥᾳστώνην ἐν τῷ καύματι παρέχοι· διὸ δὴ τῆς ἀρτηρίας ὀχετοὺς ἐπὶ τὸν πλεύμονα ἔτεμον, καὶ περὶ τὴν καρδίαν αὐτὸν περιέστησαν οἷον μάλαγμα.

XVII 4] Hippocrates de articulis [IV 124, 15L.] ἠνάγκασται γὰρ (ἡ κλεὶς) πυκινοκίνητος εἶναι [cf. Galen. ad l. c. XVIII A 415 K.]

XVII 5] Plato Tim. p. 72 CD: ἡ δ' αὖ τοῦ γείτονος αὐτῷ ξύστασις καὶ ἕδρα σπλάγχνου γέγονεν ἐξ ἀριστερᾶς χάριν ἐκείνου, τοῦ παρέχειν αὐτὸ λαμπρὸν ἀεὶ καὶ καθαρόν, οἷον κατόπτρῳ παρεσκευασμένον καὶ ἕτοιμον ἀεὶ παρακείμενον ἐκμαγεῖον· διὸ δὴ καὶ ὅταν τινὲς ἀκαθαρσίαι γίγνωνται διὰ νόσους σώματος περὶ τὸ ἧπαρ, πάντα ἡ σπληνὸς καθαίρουσα αὐτὰ δέχεται μανότης, ἅτε κοίλου καὶ ἀναίμου ὑφανθέντος· ὅθεν πληρούμενος τῶν ἀποκαθαιρομένων μέγας καὶ ὄπουλος αὐξάνεται, καὶ πάλιν, ὅταν καθαρθῇ τὸ σῶμα, ταπεινούμενος εἰς ταὐτὸν ξυνίζει.

XVII 11] Plato Tim. p. 81 E. 82 A—E: τὸ δὲ τῶν νόσων ὅθεν ξυνίσταται, δῆλόν που καὶ παντί. τεττάρων γὰρ ὄντων γενῶν, ἐξ ὧν συμπέπηγε τὸ σῶμα, γῆς πυρὸς ὕδατός τε καὶ ἀέρος, τούτων ἡ παρὰ φύσιν πλεονεξία καὶ ἔνδεια καὶ τῆς χώρας μετάστασις ἐξ οἰκείας ἐπ' ἀλλοτρίαν γιγνομένη, πυρός τε αὖ καὶ τῶν ἑτέρων, ἐπειδὴ γένη πλείονα ἑνὸς ὄντα τυγχάνει, τὸ μὴ προσῆκον ἕκαστον ἑαυτῷ προσλαμβάνειν καὶ πάνθ' ὅσα τοιαῦτα στάσεις καὶ νόσους παρέχει· παρὰ φύσιν γὰρ ἑκάστου γιγνομένου καὶ μεθισταμένου θερμαίνεται μὲν ὅσα ἂν πρότερον ψύχηται, ξηρὰ δὲ ὄντα εἰς ὕστερον γίγνεται νοτερά, καὶ κοῦφα δὴ καὶ βαρέα, καὶ πάσας πάντη μεταβολὰς δέχεται. μόνως γὰρ δή, φαμέν, ταὐτὸν ταὐτῷ κατὰ ταὐτὸ καὶ ὡσαύτως καὶ ἀνὰ λόγον προσγιγνόμενον καὶ ἀπογιγνόμενον ἐάσει ταὐτὸν ὂν αὐτῷ σῶν καὶ ὑγιές μένειν· ὃ δ' ἂν πλημμελήσῃ τι τούτων ἐκτὸς ἀπιὸν ἢ προσιόν, ἀλλοιότητας παμποικίλας καὶ νόσους φθορᾶς τε ἀπείρους παρέξεται. δευτέρων δὴ ξυστάσεων αὖ κατὰ φύσιν ξυνεστηκυιῶν δευτέρα κατανόησις νοσημάτων τῷ βουλομένῳ γίγνεται ξυννοῆσαι. μυελοῦ γὰρ ἐξ ἐκείνων ὀστοῦ τε καὶ σαρκὸς

XVII 4 πυκινοκείνητος umbras litterarum secutus K; cf. test. 5 ῥηγνύηται] prima littera ρ vel γ, ι, φ, ψ 6 εγμαγηο P; ultima ante lac. littera ο, certe non ν 7 K 8 συννοσεῖ K 10—12 K 11 δὲ] cf. 44

Digitized by Google

XVII 13 γένεσιν τῶν σωμάτων ἢ παρὰ τ[ὰ τούτ(ων)]
περισσώματα. καὶ παρὰ μὲν τὰ στ[οιχεῖα]
15 γίνονται [νόσοι], ὅταν ἢ πλείονα γένη [τὸ]
εἶδος μεταβάλῃ ἢ ἐν ἀνοικείωι [καθί-]
σῃ· καὶ γ(ὰρ) πλείονα γενόμενα τα[ῦτα]
τὰ στοιχεῖα νόσους κ(ατα)σκευάζ[ει διὰ]
τὸ πλῆθος· * καὶ μὴ[ν] καὶ ἐγβάν[τα τοῦ]
20 οἰκείου εἴδους πάλι ἐνποιεῖτ[αι ἑτέροις].
ἀλλὰ γ(ὰρ) ὡς ὁμοίως καὶ ἐν ἀνοικ[είοις τό-]
ποις ταχθέντα νόσους ἐπιφέ[ρει πολλὰ]ς
τοῦτο τὸ δὴ ἐν ἀνοικείῳ τόπ[ωι γι(νόμενον) εἶδο]ς.
καὶ παρὰ μ(ὲν) τὴν τ(ῶν) στοιχείων διά[θεσιν]
25 οὕτως συνίστανται αἱ νόσοι. * * π[αρὰ δὲ α]ὖ
τὴν γένεσιν τ(ῶν) σωμάτ(ων) γί(νονται) νόσοι τινὲς τοιούτω(ν),
οἷον ἡ σὰρξ λαμβάνει τὴν γένεσ[ιν]
ἐξ αἵματος πεπηγότος καὶ συνεσ[τα-]
μένου, τὰ δὲ νεῦρα ἀποτελεῖται ἐκ [τῶν]
30 [ε]ἰνῶν τοῦ αἵματος. ταύτῃ δὲ ἀναιρ[ε-]
θεισῶν τ(ῶν) τοῦ αἵματος ἰνῶν ἅπη[κτον]
διαμένει λοιπὸν τὸ αἷμα, ὃ γί(νεται) ἐν ἐκ[είνηι,]
ὅτι ἡ μ(ὲν) σὰρξ ἐξ αἵματος λαμβάνει
τὴν γένεσιν, τὰ δὲ νεῦρα ἐκ τ(ῶν) το[ῦ]

καὶ νεύρου ξυμπαγέντος, ἔτι τε αἵματος ἄλλον μὲν τρόπον, ἐκ δὲ τῶν αὐτῶν γεγονότος, τῶν μὲν ἄλλων τὰ πλεῖστα ᾗπερ τὰ πρόσθεν, τὰ δὲ μέγιστα τῶν νοσημάτων τῇδε χαλεπὰ ξυμπέπτωκεν, ὅταν ἀνάπαλιν ἡ γένεσις τούτων πορεύηται, τότε ταῦτα διαφθείρεται. κατὰ φύσιν γὰρ σάρκες μὲν καὶ νεῦρα ἐξ αἵματος γίγνεται, νεῦρον μὲν ἐξ ἰνῶν διὰ τὴν ξυγγένειαν, σάρκες δὲ ἀπὸ τοῦ παγέντος, ὃ πήγνυται χωριζόμενον ἰνῶν· τὸ δὲ ἀπὸ τῶν νεύρων καὶ σαρκῶν ἀπιὸν αὖ γλίσχρον καὶ λιπαρὸν ἅμα μὲν τὴν σάρκα κολλᾷ πρὸς τὴν τῶν ὀστῶν φύσιν αὐτό τε τὸ περὶ τὸν μυελὸν ὀστοῦν τρέφον αὔξει, τὸ δ' αὖ διὰ τὴν πυκνότητα τῶν ὀστῶν διηθούμενον καθαρώτατον γένος τῶν τριγώνων λειότατόν τε καὶ λιπαρώτατον, λειβόμενον ἀπὸ τῶν ὀστῶν καὶ στάζον, ἄρδει τὸν μυελόν, καὶ κατὰ ταῦτα μὲν γιγνομένων ἑκάστων ὑγίεια ξυμβαίνει τὰ πολλά· νόσοι δέ, ὅταν ἐναντίως.

XVII 14. 15 K 17—19 K 20 ἑτέροις] praelongi versus litteram ultimam servavit margo sin. c. XVIII itemque v. 22. 23. 26. 46 21. 22 K 22 πολλὰς (sive malis τινὰς) ex ς in c. XVIII residua restitui 23 τόπωι K 24. 25 K 25 αὖ addidi cf. ad v. 26 26 τι extrema c. XVII, νεστο in vago fragmento, ιουτ in marg. c. XVIII inveni; super το hasta litterae υ (cf. v. 25), cuius pars superior in extr. v. 25 relicta 27—30 K 31 extr. απη vel απυ P 34 K

Digitized by Google

XVII 35 αἵματος ἰνῶν. 'ταύτηι δὴ συνέχεται,
φησίν, καὶ τρέφεται τὰ σώματα ταῦ[τα]
πρὸς τῆς πειμελῆς, τηκομένης
αὐτῆς καὶ διὰ τ(ῶν) ἀραιοτήτ(ων) τ(ῶν) ὀστέ[ων]
ἐπιχορηγουμένης καὶ τρεφούση[ς]
40 τὰ ὀστέα. ὅταν μ(ὲν) [οὖν] οὕτως γί(νηται) ἡ τ(ῶν) [σω-]
μάτ(ων) γένεσις, κατὰ φύσιν ἔχει τὸ ζῷιον·
ὅταν δὲ μὴ οὕτως γί(νηται), ἀλ(λ') ἐνηλ⟨λ⟩αγμέ[νως]
ἡ γένεσις, νόσους ἐπιφέρει.' καὶ π[ερὶ τὴν]
γένεσιν δὲ τ(ῶν) σωμάτων ο(ὕτως). * * παρὰ [δὲ]
45 τὰ περιττώματα συνίστα[νται τριχῶς]
αἱ νόσοι, ἢ π[α]ρ[ὰ τὰς] φύσας [τὰς ἐκ τ(ῶν)] πε-

XVIII ριττωμ[άτ(ων) ἢ παρὰ] χολὴν ἢ φλέγμα· διὰ
γὰρ ταῦ[τα τὰ τρία] καὶ κοινῇ καὶ ἰδίᾳ γί(νονται)
νόσοι. κα[ὶ γ(ὰρ) ἓν μό]νον αὐτ(ῶν) νόσου[ς] ἐπιφέρει
καὶ δύο σ[υνάμφω] συνελθόντα πάλι νό-
5 σους κ(ατα)σ[κευάζ]ει. * ὡς ὁμοίως δὲ καὶ διὰ
τὰ τρία σ[υγκατ]οισθέντα αἱ νόσοι ἀπο-
τελοῦν[ται. κα]ὶ ἡ μ(ὲν) τοῦ Πλάτωνος
δόξα πε[ρὶ νόσω]ν ἐν τούτοις. * * Φιλόλαος
δὲ ὁ Κρ[ο]τωνιάτης συνεστάναι φ(ησὶν) τὰ ἡμέ-
10 τερα σώμ[ατα ἐκ] θερμοῦ. ἀμέτ⟨οχ⟩α γ(ὰρ) αὐτὰ (εἶναι)
ψυχροῦ [, ὑπομι]μνήσκων ἀπό τιν(ων) τοιούτ(ων)·
τὸ σπέρμ[α (εἶναι) θερ]μόν, κατασκευαστικὸν δὲ
τοῦτο τ[οῦ ζώιο]υ· καὶ ὁ τόπος δέ, εἰς ὃν

XVII 44] Plato Tim. p. 84 CD: τρίτον δ' αὖ νοσημάτων εἶδος τριχῇ δεῖ διανοεῖσθαι γιγνόμενον· τὸ μὲν ὑπὸ πνεύματος, τὸ δὲ φλέγματος, τὸ δὲ χολῆς. ὅταν μὲν γὰρ ὁ τῶν πνευμάτων τῷ σώματι ταμίας πλεύμων μὴ καθαρὰς παρέχῃ τὰς διεξόδους ὑπὸ ῥευμάτων φραχθείς, ἔνθα μὲν οὐκ ἰόν, ἔνθα δὲ πλεῖον, ἢ τὸ προσῆκον πνεῦμα εἰσιὸν τὰ μὲν οὐ τυγχάνοντα ἀναψυχῆς σήπει, τὰ δὲ τῶν φλεβῶν διαβιαζόμενον καὶ ξυνεπιστρέφον αὐτὰ τῆκόν τε τὸ σῶμα εἰς τὸ μέσον αὐτοῦ διάφραγμά τ' ἴσχον ἐναπολαμβάνεται, καὶ μυρία δὴ νοσήματα ἐκ τούτων ἀλγεινὰ μετὰ πλήθους ἰδρῶτος ἀπείργασται.

XVII 36 K 38—40 K 42—46 K 46 extr. τε in col. XVIII.
XVIII 1—3 K 5—7 K 9 κρωτωνιατης P: suppl. K 10 K
ἀμέτοχα emendavi ex v. 16. 17: αμετα vel αμεγα P; inde ἀμιγῆ K 11. 12 suppl. Blassius

Digitized by Google

XVIII 14 ἡ καταβολ[ή — μήτρα] δὲ αὕτη — (ἐστὶν) θερμοτέρα
15 καὶ ἐοι[κυιᾶ ἐκ]είνωι· [τὸ δὲ ἐοικός τινι τὰτὸ δύναται,
ὧι ἔοικεν]· ἐπεὶ δὲ τὸ κατα-
σκευάζ[ον ἀμέ]τοχ[ό]ν (ἐστιν) ψυχροῦ καὶ ὁ τόπο[ς]
δέ, ἐν ὧ[ι ἡ κ(ατα)βολ]ή, ἀμέτοχός (ἐστιν) ψυχροῦ,
δῆλον [ὅτι καὶ τὸ] κ(ατα)σκευαζόμενον ζῶιον
τοιοῦτο[ν γίνε]ται. * εἰς δὲ τούτου τὴν
20 κατασκ[ευὴν ὑ]πομνήσει π(ροσ)χρῆται τοιαύ-
τῃ· με[τὰ γ(ὰρ)] τὴν ἔκτεξιν εὐθέως [τοῦ]
τὸ ζῶιον ἐπισπᾶται τὸ ἐκτὸς πνεῦμα
ψυχρὸν ὄν· εἶτα πάλιν καθαπερεὶ χρέος
ἐκπέμπει αὐτό. * διὰ τοῦτο δὴ καὶ ὄρεξις
25 τοῦ ἐκτὸς πνεύματος, ἵνα τῆ[ι]
ἐπ⟨ε⟩ισάκτωι τοῦ πνεύματος ὁλκῆ θερμ[ό]-
τερα ὑπάρχοντα τὰ ἡμέτερα σώματα π(ρὸς) αὐτ(οῦ)
καταψύχηται. * καὶ τὴν μ(ὲν) σύστασιν
τῶν ἡμετέρων σωμάτ(ων) ἐν τούτοις φ(ησίν). * *
30 λέγει δὲ γί(νεσθαι) τὰς νόσους διά τε χολὴν
καὶ αἷμα καὶ φλέγμα, ἀρχὴν δὲ γί(νεσθαι)
τῶν νόσων ταῦτα· ἀποτελεῖσθαι
δέ φ(ησιν) τὸ μ(ὲν) αἷμα παχὺ μ(ὲν) ἔ[σω] παρα-
θλιβομένης τῆς σαρκός, * λεπτὸν
35 δὲ γί(νεσθαι) διαιρουμέν(ων) τ(ῶν) ἐν τῆι σαρκὶ ἀγγείων·
τὸ δὲ φλέγμα συνίστασθαι ἀπὸ τῶν ὄμ-
βρων φ(ησίν). λέγει δὲ τὴν χολὴν ἰχῶρα
εἶναι τῆς σαρκός. * παράδοξόν τε α[ὑ]τὸς
ἀνὴρ ἐπὶ τούτου κεινεῖ· λέγει γ(ὰρ) μηδὲ τε-
40 τάχθα[ι] ἐπὶ τ[ῶι] ἥπατι χολήν, ἰχῶρα μέν-
τοι τῆς σαρκὸς (εἶναι) τὴν χολήν. * τό τ' αὖ
φλέγμα τ(ῶν) πλείστ(ων) [ψυχ⟨ρ⟩ὸν] [~~θερμὸν~~] (εἶναι) λεγόν-
των αὐτὸς θερμὸν τῆι φύσει ὑπ[ο]τί-

XVIII 14 cf. VIII 30 15 K 16 partim K ἀμέτοχον] altera ο ex η corr. P ψυχρον P 17 K ω ex η P 18 K
19 ἔσται suppl. K 20 K 24 post ὄρεξις non desidero γί(νεται)
33 μεσον, addito εν compendio et superscriptis σω (vel σωι), denique deletis σον in μεν εσω corr. P 38 ατος P 42 ψυχον (sic) deletis θερμον superscr. P 43 K

Digitized by Google

XVIII 44 θεται· ἀπὸ γ(ὰρ) τοῦ φλέγειν φλέγμα εἰρῆσθ(αι)·
45 ταύτῃ δὲ καὶ τὰ φλεγμαίνον[τα]
μετοχῇ τοῦ φλέγματος φλεγμ[α]ί-
νει. καὶ ταῦτα μ(ὲν) δὴ ἀρχὰς τ(ῶν) νό[σ]ων
ὑπ[ο]τίθεται, * [σ]υνεργὰ δὲ ὑπερβολ[άς]
